τῶν ἀδικιῶν τῆς ἐμπορίας σου ἐβεβήλωσας τὰ ἱερά σου· καὶ
ἐξάξω πῦρ ἐκ μέσου σου, τοῦτο καταφάγεταί σε· καὶ δώσω σε
εἰς σποδὸν ἐπὶ τῆς γῆς σου ἐναντίον πάντων τῶν ὁρώντων σε.
19καὶ πάντες οἱ ἐπιστάμενοί σε ἐν τοῖς ἔθνεσιν στυγνάσουσιν ἐπὶ 19
σέ· ἀπώλεια ἐγένου καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα.
20Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 21Υἱὲ ἀνθρώπου, 20 21
στήρισον τὸ πρόσωπόν σου ἐπὶ Σιδῶνα καὶ προφήτευσον ἐπ᾽ αὐ-
τὴν 22καὶ εἰπόν Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, Σιδών, καὶ 22
ἐνδοξασθήσομαι ἐν σοί, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος ἐν τῷ ποιῆσαί
με ἐν σοὶ κρίματα, καὶ ἁγιασθήσομαι ἐν σοί. 23αἷμα καὶ θάνατος 23
ἐν ταῖς πλατείαις σου, καὶ πεσοῦνται τετραυματισμένοι ἐν μαχαί-
ραις ἐν σοὶ περικύκλῳ σου· καὶ γνώσονται διότι ἐγώ εἰμι κύριος.
24καὶ οὐκ ἔσονται οὐκέτι τῷ οἴκῳ τοῦ Ισραηλ σκόλοψ πικρίας καὶ 24
ἄκανθα ὀδύνης ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν τῶν ἀτιμασάν-
των αὐτούς· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. 25τάδε λέγει κύριος 25
κύριος Καὶ συνάξω τὸν Ισραηλ ἐκ τῶν ἐθνῶν, οὗ διεσκορπίσθησαν
ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς ἐνώπιον τῶν λαῶν καὶ τῶν
ἐθνῶν· καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἣν δέδωκα τῷ
δούλῳ μου Ιακωβ, 26καὶ κατοικήσουσιν ἐπ᾽ αὐτῆς ἐν ἐλπίδι καὶ οἰ- 26
κοδομήσουσιν οἰκίας καὶ φυτεύσουσιν ἀμπελῶνας καὶ κατοικήσουσιν
ἐν ἐλπίδι, ὅταν ποιήσω κρίμα ἐν πᾶσιν τοῖς ἀτιμάσασιν αὐτοὺς
ἐν τοῖς κύκλῳ αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς
αὐτῶν καὶ ὁ θεὸς τῶν πατέρων αὐτῶν.
1Ἐν τῷ ἔτει τῷ δεκάτῳ ἐν τῷ δεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς 29
ἐγένετο λόγος κυρίου πρός με λέγων 2Υἱὲ ἀνθρώπου, στήρισον 2
τὸ πρόσωπόν σου ἐπὶ Φαραω βασιλέα Αἰγύπτου καὶ προφήτευσον
ἐπ᾽ αὐτὸν καὶ ἐπ᾽ Αἴγυπτον ὅλην 3καὶ εἰπόν Τάδε λέγει κύριος 3
Ἰδοὺ ἐγὼ ἐπὶ Φαραω τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκαθήμενον
ἐν μέσῳ ποταμῶν αὐτοῦ τὸν λέγοντα Ἐμοί εἰσιν οἱ ποταμοί, καὶ
ἐγὼ ἐποίησα αὐτούς. 4καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας 4

18 των $2^0$ > A | εβεβηλωσας] ς > B | εις > B†: cf. 26 14 || 19 στυγνασ. (cf. 27 35 32 10)] στεναξουσιν B† || 22 κυριος $1^0$ BA pau.] pr. αδωναι rel.: cf. 5 5 || 23 αιμα και θανατος B†] και εξαποστελω επι σεαυτην(sic) θανατον και αιμα Q = 𝔐: item A post αιμα addens και θανατος(sic) | σου $1^0$] + εσται A | εν $2^0$ > BV† | γνωσονται] -ση A | διοτι B†] οτι rel. || 24 ουκ εσ. ουκετι] ουκετι εσ. A | τω] pr. εν B | του B†] > rel. | παντων > BA pau. | περικυκλω] περι > A | κυριος] + ο θεος αυτων A || 25 κυριος κυριος B†] + ο θεος A: cf. 2 | εθνων $1^0$] χωρων A† | ενωπιον] pr. και B† | και των εθνων > A* pau.: cf. 𝔐; A$^s$ suppleuit των εθνων tantum | ην δεδωκα B(†)] ης εδωκα pl.

29 1 δεκατω $1^0$] δωδεκ. BL | τω $3^0$ > B† | δεκατω $2^0$] ενδεκ. A, δωδεκ. *LC* = 𝔐 || 3 init. B†] pr. λαλησον(A† και λαλ.) rel. (in *O* sub ※) | κυριος B†] + ο θεος A: item in 16, cf. 8 14 6 | φαραω B†] pr. σε rel. = 𝔐; + βασιλευ αιγυπτου rel. (in *O* sub ※) || 4 εγω > A pau. = 𝔐 | παγιδας] pr. τας A(†)